# TEZAUR LITURGIC

## 19 DECEMBRIE

HARALAMBOS BOUSIA

# PARACLISUL SF.MUCENIC BONIFATIE DE LA ROMA

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 19 ΔΕΚΕΜΒΡΙΟΣ

# ΜΝΗΜΗ ΤΟΥ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ ΒΟΝΙΦΑΤΙΟΥ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

**Ποίημα Δρ.Χαραλάμπους Μ. Μπούσια**

Ο Ιερεύς άρχεται της Παρακλήσεως με την δοξολογικήν εκφώνησιν:

Ευλογητός ο Θεός ημών, πάντοτε, νυν και αεί και εις τους αιώνας των αιώνων.

Ο χορός: Αμήν.

Η μη υπάρχοντος Ιερέως, ημείς το:

Δι’ ευχών των Αγίων Πατέρων ημών, Κύριε Ιησού Χριστέ ο Θεός, ελέησον και σώσον ημάς, Αμήν.

Ψαλμός ρμβ’ (142).

Και ευθύς ψάλλεται τετράκις εξ’ υπαμοιβής, μετά των οικείων στίχων:

Θεός Κύριος και επέφανεν ημίν, ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.

Στιχ. α’. Εξομολογείσθε τω Κυρίω και επικαλείσθε το όνομα το Άγιον Αυτού.

Στιχ. β’. Πάντα τα έθνη εκύκλωσάν με και το ονόματι Κυρίου ημυνάμην αυτούς.

Στιχ. γ’. Παρά Κυρίου εγένετο αύτη και έστι θαυμαστή εν οφθαλμοίς ημών.

Είτα το τροπάριον. Ήχος δ’ . Ο υψωθείς εν τω Σταυρώ.

Ως Αθλητής Τροπαιοφόρος Κυρίου, και πρεσβευτής ημών ανύστακτος όντως, τρισμάκαρ Βονιφάτιε ταις σαις εκτενώς, ικεσίαις λύτρωσαι συμφορών και κινδύνων, πάντας τους τιμώντάς σε και εκ πάσης δολίας, επιβουλής του πλάνου ασινείς, ημάς συντήρει, Μαρτύρων ακρώρεια.

Δόξα. Και νυν. Θεοτοκίον.

Ου σιωπήσομέν ποτε Θεοτόκε, τας δυναστείας Σου λαλείν οι ανάξιοι, ειμή γαρ Συ προΐστασο πρεσβεύουσα, τις ημάς ερρύσατο εκ τοσούτων κινδύνων; Τις δε διεφύλαξεν, έως νυν ελευθέρους; Ουκ αποστώμεν Δέσποινα εκ Σου, Σους γαρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Ψαλμός ν’ (50).

Είτα ο Κανών του Προφήτου, ου η ακροστιχίς: Γενού μοι αρωγός, Βονιφάτιε. Χαραλάμπους.

Ωδή α’ . Ήχος πλ. Δ’ . Υγράν διοδεύσας.

Γηθόμενος πέμπω σοι νυν ωδήν, κραυγάζων μη παύση, ικετεύειν τον Λυτρωτήν, διδόναι μοι λόγους σε γεραίρειν, και μεγαλύνειν Αυτόν Βονιφάτιε.

Εξ ύψους κατάπεμψον εφ’ ημάς, Χριστού τα ελέη, Βονιφάτιε ιερέ, λιταίς σου ταις θείαις καρτερόφρον, ίνα του πλάνου πατήσωμεν φρύαγμα.

Νοός μου εκδίωξον σκοτασμόν, παθών ο ελάσας, σκοτομήνην και Αθλητών, χοροίς συναφθείς ση ολοτρόπω, ψυχής εφέσει κλεινέ Βονιφάτιε.

Ορών εν σταδίω τους Αθλητάς, Χριστού λελουσμένους, των αιμάτων τοις οχετοίς, εκτήσω τον πόθον μαρτυρίου, πιστών θερμέ πρεσβευτά Βονιφάτιε.

Θεοτοκίον.

Υπέραγνε Μήτερ του Λυτρωτού, αγνείας δοχεία, δείξον πάντας τους ευλαβώς, τιμώντάς Σε ύμνοις μελιρρύτοις, και μυστικαίς μελωδίαις εκάστοτε.

Ωδή γ’ . Ουρανίας αψίδος.

Ματαιότητα πάντων των γεηρών Άγιε, και του τρυφηλού εννοήσας βίου επόθησας, υπέρ Κυρίου θανείν, ίνα ημίν δείξης τρίβους, πολιτείας κρείττονος, ω Βονιφάτιε.

Οφθαλμούς ακαθάρτους του χοϊκού σώματος, κλείσας Βονιφάτιε τάχος όμματα ήνοιξας, τα της ψυχής του οράν, δόξαν την όντως αγήρω, ην ιδείν αξίωσον, και τους τιμώντάς σε.

Ιοβόλου ασπίδος την κεφαλήν σύντριψον, της επιζητούσης σπαράξαι Μάρτυς σον πρόσφυγα, και μοι εκχύσαι ιόν, οδυνηράς αμαρτίας, ο αυτής τον βόρβορον, πλύνας δι’ αίματος.

Αγλαΐδα ην έσχες των ηδονών πρότερον, σκεύος Βονιφάτιε Μάρτυς είτα χρηστότητος, δια της σης γεραράς, θανής ανέδειξας όθεν δυσωπώ σε· δείξόν με, βάθρον συνέσεως.

Θεοτοκίον.

Ρυπτικών πρεσβειών Σου τοις ποταμοίς Δέσποινα, νυν προσπίπτων κράζω Σοι· ρύπον, άσπιλε πλύνόν μου, της ρυπαρώδους ψυχής, και εισελθείν με εις άνω, δόμους λαμπροχίτωνα, Μήτερ αξίωσον.

Απόπλυνον, τον της καρδίας ημών σαις πρεσβείαις ρύπον, και αφθίτου ζωής ιμάτιον ένδυσον, τους σε Βονιφάτιε ανυμνούντας.

Επίβλεψον, εν ευμενεία πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν, και ίασαι της ψυχής μου το άλγος.

Κάθισμα. Ήχος β’ . Πρεσβεία θερμή.

Πρεσβείαις ταις σαις απαύστως τειχιζόμενοι, του φαύλου εχθρού τας μηχανάς εκτρέπομεν, και καλώς το πέλαγος, Βονιφάτιε διαπλέομεν, του βίου όθεν ύμνοις μυστικοίς, την σην παρρησίαν αναμέλπομεν.

Ωδή δ’ . Εισακήκοα Κύριε.

Ως ωκύπους τις έλαφος, επί τας υδάτων πηγάς ανέδραμες, εναθλήσαι Βονιφάτιε, και ισχύν δωρήσαι τοις τιμώσί σε.

Γεραρέ Βονιφάτιε, πάρεχε κατ’ άμφω υγείαν άπασι, τοις γεραίρουσι τους άθλους σου, και την θείαν μνήμην σου δοξάζουσιν.

Ομηγύρεως καύχημα, Αθλητών της πίστεως Βονιφάτιε, σας λιτάς απεκδεχόμεθα, ίνα βίον ήσυχον διάγωμεν.

Θεοτοκίον.

Σωματώσασα Κύριον, και Θεόν Παρθένε βροτούς εθέωσας, και της γης την σφαίραν ήνωσας, μετά του απείρου στερεώματος.

Ωδή ε’ . Φώτισον ημάς.

Βύθιον εχθρόν, τον ζητούντα αφανίσαι με, Βονιφάτιε απέλασον μακράν, ο αυτόν γενναιοφρόνως τροπωσάμενος.

Όμβροις ιεροίς, των αιμάτων σου επίανας, Κιλικίας Βονιφάτιε την γην, και καρπούς αιωνιότητος εξέδρεψας.

Νύκτα ζοφεράν, της ανόμου πολιτείας μου, καταφώτισον λιτών σου ταις αυγαίς, Βονιφάτιε ανδρείας άστρον πάμφωτον.

Θεοτοκίον.

Ίνα οι πιστοί, εσαεί Σε μεγαλύνομεν, ρώμην δίδου και υγείαν ψυχικήν, πάσι Μήτερ του Κυρίου Αειπάρθενε.

Ωδή στ’ . Την δέησιν.

Φωτόλαμπρε, Μάρτυς Βονιφάτιε, ο δεχθήναι πριν Κυρίου την χάριν, εν ηδοναίς δαπανήσας τον βίον, ηδονικών ενθυμήσεων σβέσον μου, το κατακαίον πυρ δεινώς,
και οδούς αναψύξεως δείξόν μοι.

Αστείρευτος, ποταμός ιάσεων, τον σον λείψανον εν Ρώμη επώφθη, αρδεύων πάντας τους εν ασθενείας, κατακειμένους τη κλίνη και σπεύδοντας, αυτώ εν πίστει ακλινεί, ταχινέ ιατήρ Βονιφάτιε.

Τιτρώσκομαι, οίμοι ο πολύστηνος, εκ βελών των πυριφλέκτων του πλάνου, και πλήρης πόνου προς σε ανατείνω, χείρας αιτούμενος σην ακαταίσχυντον, αντίληψιν θαυματουργέ, Αθλητών κορυφή Βονιφάτιε.

Θεοτοκίον.

Ικέτευε, εκτενώς τον Κύριον, και Θεόν ημών Ον έτεκες κόσμω, υπερφυώς υπέρ πάντων Παρθένε, των ανυμνούντων τον πάντιμον Τόκον Σου, και Σε ως πρόξενον ζωής, γεραιρόντων αλήκτου εκάστοτε.

Απόπλυνον, τον της καρδίας ημών σαις πρεσβείαις ρύπον, και αφθίτου ζωής ιμάτιον ένδυσον, τους σε Βονιφάτιε ανυμνούντας.

Άχραντε, η δια λόγου τον Λόγον ανερμηνεύτως, επ' εσχάτων των ημερών τεκούσα δυσώπησον, ως έχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ήχος β' . Τα άνω ζητών.

Ως των πιστών αντιλήπτωρ θερμότατος, των προσφευγόντων τη ση θεία χάριτι, δεινής ασθενείας εκλύτρωσαι, πανευσταλές Αθλητά Βονιφάτιε, λιτών σου δυνάμει προς Κύριον.

Προκείμενον. Ήχος β .: Θαυμαστός ο Θεός, εν τοις Αγίοις Αυτού.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού εθαυμάστωσεν ο Κύριος.

Ευαγγέλιον (Ματθ. ι’ 32-36, ια 1)

Είπεν ο Κύριος τοις εαυτού μαθηταίς· πας όστις ομολογήσει εν εμοί έμπροσθεν των ανθρώπων, ομολογήσω καγώ εν αυτώ έμπροσθεν του Πατρός μου του εν τοις ουρανοίς· όστις δ’ αν αρνήσηταί με έμπροσθεν των ανθρώπων, αρνήσομαι καγώ αυτόν έμπροσθεν του Πατρός μου του εν ουρανοίς. Μη νομίσητε ότι ήλθον βαλείν ειρήνην, αλλά μάχαιραν. Ήλθον γαρ διχάσαι άνθρωπον κατά του πατρός αυτού, και θυγατέρα κατά της μητρός αυτής και νύμφην κατά της πενθεράς αυτής· και εχθροί του ανθρώπου οι οικιακοί αυτού· και εγένετο, ότε ετέλεσεν ο Ιησούς διατάσσων τοις δώδεκα Μαθηταίς αυτού, μετέβη εκείθεν, του διδάσκειν και κηρύττειν εν ταις πόλεσιν αυτών.

Δόξα: Ταις του Αθλοφόρου...

Και νυν: Ταις της Θεοτόκου...

Προσόμοιον. Ήχος πλ. β . Όλην αποθέμενοι.

Στ.: Ελεήμον, ελέησόν με ο Θεός...

Άσπετον κατάσβεσον, αμαρτημάτων την φλόγα, όμβροις αενάοις σου, πρεσβειών προς Κύριον γενναιότατε, Αθλητά πίστεως, ο εν τω σταδίω, μεγαλύνας θείον όνομα,

του Πανοικτίρμονος, και Θεού ημών Βονιφάτιε, ως αν την πανακήρατον, μνήμην σου δοξάζομεν πάντοτε, και της παρρησίας, μεθ' ήσπερ ωμολόγησας Χριστόν, προ του τυράννου πανύμνητε, μιμηταί γενόμεθα.

Ωδή ζ' . Παίδες Εβραίων.

Έργοις τον βίον αναλώσαι θεαρέστοις καταξίωσον τους πόθω, ευφημούντας την σην, αγίαν μνήμην Πάτερ, θεόφρον Βονιφάτιε, αθλουμένων κοσμιότης.

Χάριν μοι πέμψον ουρανόθεν Βονιφάτιε τω σε υμνολογούντι, ευσταλές του Χριστού, οπλίτα ο τα πάθη, σαρκίου απωσάμενος, Παρακλήτου τη δυνάμει.

Αίνον προσάγομέν σοι πάντες τω θυσίαν εαυτόν Κυρίω δόντι, και στολήν της ψυχής, φοινίξαντι ψεκάσιν, αιμάτων των ιδίων σου, Βονιφάτιε παμμάκαρ.

Θεοτοκίον.

Ρεύμασι των της μετανοίας λούσον Πάναγνε δακρύων τους Σους δούλους, και εις δόμους αυτούς, κεκαθαρμένους δέξαι, των ουρανών Παντάνασσα, ταις ευχαίς Βονιφατίου.

Ωδή η' . Τον Βασιλέα.

Αμαρτημάτων, την δυσωδίαν πρεσβείαις, ταις θερμαίς σου αποκάθαρον ο γνόφον, λύσας αμαρτίας, τη του Χριστού δυνάμει.

Λελαμπρυσμένος, μαρμαρυγαίς των σων πόνων, εις σκηνώσεις φωσφόρους εισήλθες, ικετεύειν Μάρτυς, υπέρ των σε υμνούντων.

Ανδρειοφρόνως, προ του ανόμου τυράννου, Βονιφάτιε έστης Κυρίου, όνομα το μέγα, ομολογών και θείον.

Θεοτοκίον.

Μανίαν πλάνου, την καθ' ημών κινουμένη, δίδου δύναμιν πάσι και ρώμην, τοις προστρέχουσί Σοι, πατείν Θεοκυήτορ.

Ωδή θ' . Κυρίως Θεοτόκον.

Παθών ημών ιλύος, πρεσβειών σου ρείθροις, πλύνον τους σε Βονιφάτιε μέλποντας, ψαλμοίς και ύμνοις ως πίστεως θείον Μάρτυρα.

Ο φύλαξ και προστάτης, πέλεις σων προσφύγων, τομεύ ειδώλων σπερμάτων οξύτατε, και αληθείας φθεγμάτων σπορεύ γλυκύτατε.

Υψίστου νυν τω θρόνω, παρεστώς μη παύση, υπέρ ημών δυσωπείν Βονιφάτιε, των ευλαβώς εκτελούντων την θείαν μνήμην σου.

Θεοτοκίον.

Σωμάτων αλγηδόνας, και ψυχών το άχθος, των οικετών Σου θεράπευσον Δέσποινα, ίνα ηρέμως τον βίον ημών διάγωμεν.

Μεγαλυνάρια.

Άξιόν εστιν ως αληθώς, μακαρίζειν Σε την Θεοτόκον, την αειμακάριστον και παναμώμητον και μητέρα του Θεού ημών. Την τιμιωτέραν των Χερουβείμ και ενδοξοτέραν ασυγκρίτως των Σεραφείμ, την αδιαφθόρως Θεόν Λόγον τεκούσαν, την όντως Θεοτόκον Σε μεγαλύνομεν.

Χαίροις Βονιφάτιε γεραρέ, ο στερρώς αθλήσας, και αισχύνας τον δυσμενή, χαίροις λαμπροφόρε, αστήρ της Εκκλησίας, ο πάντας αριστείας, λάμπων πυρσεύμασι.

Σκότος καταπτήξας δεινόν παθών, χάριτι τη θεία, εν σταδίω ως τηλαυγής, εωσφόρος ώφθης, ανδρείας και Μαρτύρων, της δήμοις ηριθμήθης, ω Βονιφάτιε.

Τας πικράς βασάνους των Αθλητών, και την καρτερίαν, Βονιφάτιε καθορών, εν τω μαρτυρίω, αυτών επλήσθης πόθου, Χριστώ ευαρεστήσαι, δι’ εναθλήσεως.

Έδωκας ως άσυλον θησαυρόν, σκήνός σου το θείον, Αγλαΐδι τη θαυμαστή, η καταφιλούσα, αυτό μετ’ ευλαβείας, εμύρισε δακρύοις, ω Βονιφάτιε.

Τους προσερχομένους μετά σπουδής, σκέπη σου τη θεία, Βονιφάτιε σθεναρέ, και τας ασιγήτους, ευχαίς σου προς τον Κτίστην, ενθέρμως αιτουμένους, σώζε εκ θλίψεων.

Πλήρου τα αιτήματα συμπαθών, των σοι προσιόντων, Βονιφάτιε και πιστώς, την αγίαν μνήμην, την σην επιζητούντων, Μαρτύρων παγγεράστων, βάθρον ατίνακτον.

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, Αποστόλων η δωδεκάς, οι Άγιοι Πάντες μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν εις το σωθήναι ημάς.

Το Τρισάγιον. Τα συνήθη τροπάρια. Είτα ο Ιερεύς, την Εκτενή Δέησιν, ημών ψαλλόντων το λιτανευτικόν· Κύριε ελέησον. Υπό του Ιερέως Απόλυσις. Και των Χριστιανών

ασπαζομένων την Εικόνα και χριομένων δι’ αγίου ελαίου, ψάλλονται τα παρόντα Τροπάρια:

Ήχος β’. Ότε εκ του ξύλου.

Σβέσον, αμαρτάδων μου το πυρ, το δεινώς με καίον λιτών σου, τοις οχετοίς Αθλητών, κλέος Βονιφάτιε, και εν ετάσεως, τη ημέρα στερρόψυχε, γενού παραστάτης, νυν του σοι προσπίπτοντος, σταδίου πρώταθλε, ίνα καθ’ εκάστην γεραίρω, σην προς τον Θεόν παρρησίαν, και ψυχής το εύτονον της θείας σου.

Δέσποινα πρόσδεξαι τας δεήσεις των δούλων Σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.
Την πάσαν ελπίδα μου, εις Σε ανατίθημι, Μήτερ του Θεού, φύλαξόν με υπό την σκέπην Σου.

Δι’ ευχών των Αγίων Πατέρων ημών, Κύριε Ιησού Χριστέ ο Θεός, ελέησον και σώσον ημάς, Αμήν.

